# 18 MARTIE

# SLUJBA SF.IERARH CHIRIL, ARHIEPISCOPUL IERUSALIMULUI

# MINEIUL-GR



# Ἀκολουθία Ἁγίου ΚΥΡΙΛΛΟΥ ἀρχιεπ. Ἱεροσολύμων

+ Ῥόδου Κυρίλλου

Ψαλλομένη τῇ 18η Μαρτίου

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος πλ. β'. Τριήμερος ἀνέστης.

Χριστοῦ τοῦ Ζωοδότου σαφῶς, ἑπόμενος τοῖς ἴχνεσιν, Ἱεράρχης Πάτερ Κύριλλε σοφέ, ἐδείχθης θεηγόρος, καὶ ἔνδον τῶν ἀδύτων, τοῦ Παραδείσου κατεσκήνωσας.

Δεξάμενος ὁσίᾳ ζωῇ, σοφίας χῦμα ἄνωθεν, θεοπνεύστων διδαχῶν σου τῇ φθογγῇ, ἐξέφηνας τῷ κόσμῳ, Κύριλλε θεομάκαρ, Εὐαγγελίου τὴν λαμπρότητα.

Πλουσίως ὡς ἐκ θείας πηγῆς, πηγάσας ἐκ χειλέων σου, εὐσεβείας διδαγμάτων ποταμούς, χειμάῤῥους ἀσεβείας, ἐξήρανας εἰς τέλος, Κύριλλε Πάτερ ἱερώτατε.

Πρεσβεύων μὴ ἐλλίπῃς Χριστῷ, ὑπὲρ τῶν εὐφημούντων σε, καὶ τελούντων τὴν σεπτήν σου

ἑορτήν, φαιδροῖς ἐν ἐγκωμίοις, ὦ Κύριλλε θεόφρον, Πατριαρχῶν τὸ ἐγκαλλώπισμα.

Δόξα. Ἦχος α'.

Ἱεραρχῶν τὴν καλλονήν, Πατριαρχῶν τὴν στάθμην, καὶ τῆς Ἐκκλησίας μυσταγωγόν, τοῖς ὕμνοις ἐπαινέσωμεν· τοῦ Θεαδέλφου γὰρ ἐν θρόνῳ καθίσας, φιλοπρόβατος ποιμὴν ἀνεδείχθη, πατήρ τε πιστῶν καὶ διδάσκαλος. Ὅθεν αὐτῷ ἐκβοήσωμεν· πρέσβευε ἐκτενῶς, Ἅγιε Κύριλλε τῷ Κυρίῳ, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Χαίροις παρ' ἡμῶν ἁγία Θεοτόκε Παρθένε, τὸ σεπτὸν κειμήλιον ἁπάσης τῆς οἰκουμένης, ἡ λαμπὰς ἡ ἄσβεστος, τὸ χωρίον τοῦ Ἀχωρήτου, ὁ ναὸς ὁ ἀκατάλυτος· χαίροις ἐξ ἧς Ἀμνὸς ἐτέχθη, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια. Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαίροις ὁ ἱερός, τῶν Ἱεροσολύμων, ποιμὴν καὶ Ἱεράρχης, καὶ Ἐκκλησίας στῦλος, θεόφρον Πάτερ Κύριλλε.

Στ. *Οἱ Ἱερεῖς Σου Κύριε ἐνδύσονται καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Ἔχων ἐν σοὶ λαλοῦν, τὸ Πνεῦμα τοῦ Κυρίου, μυσταγωγὸς ἐδείχθης, τῆς πίστεως θεόπνους, τρισμάκαρ Πάτερ Κύριλλε.

Στ. *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Ὤφθης ὡς ἀληθῶς, θεολογίας στόμα, κιθάρα εὐσεβείας, ὦ Κύριλλε καὶ λύρα, ἠθῶν ἁγίων χάριτος.

Δόξα. Τριαδικόν.

Δόξα Σοι ὁ Θεός, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ὁ Κύριλλον τὸν θεῖον, τοῦ λόγου Σου θεόπνουν, τῷ κόσμῳ δείξας ῥήτορα.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα Ἀγαθή, Ὑπέραγνε Μαρία, μετὰ τοῦ Ἱεράρχου, Κυρίλλου ἡμῖν αἴτει, εἰρήνην ἀστασίαστον.

Νῦν ἀπολύεις, Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς ἀστὴρ ἀνατέταλκας, καὶ πιστοὺς κατεφώτισας, ἱεραῖς λαμπρότησι τῶν δογμάτων σου, καὶ τὰς αἱρέσεις ἐσκότασας, καὶ τέλεον ἔτρεψας, καὶ ὡς δοῦλος τὸ δοθέν, πλεονάσας σου τάλαντον, εὐηρέστησας, τῷ Δεσπότῃ θεόφρον, Οὗ εἰς χεῖρας, ἐναπέθου σου τὸ πνεῦμα, τὸ ἱερώτατον Κύριλλε.

Τῇ σοφίᾳ τῶν λόγων σου, καὶ τῷ φέγγει τοῦ βίου σου, ὡς ἀστὴρ πολύφωτος ἀξιάγαστε, μέσον Συνόδου διέλαμψας, Πατέρων τὸν ἄθεον, Μακεδόνιον νευραῖς, ἀποπνίξας τῆς χάριτος, εἰς τὸ Ἅγιον, καὶ ζωῶσαν τὰ πάντα Θεῖον Πνεῦμα, βλασφημήσαντα ἀφρόνως, καὶ προφανῶς ἀνομήσαντα.

Νοῦν ἀλάστορα ᾔσχυνας, τοῦ παράφρονος Μάνεντος, στηλιτεύσας κάλλιστα καὶ σοφώτατα, τὰ βορβορώδη διδάγματα, τῆς τούτου σκαιότητος, Διδασκάλων ἀρχηγέ, Ἱερέων εὐπρέπεια, θεῖε πρόμαχε, τῆς Χριστοῦ Ἐκκλησίας· διὰ τοῦτο, τὴν ἁγίαν γεγηθότες, ἐπιτελοῦμέν σου κοίμησιν.

Ἕτερα. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ θεοφόρε Κύριλλε, διαβιβάσας τὸν νοῦν, ἀπαθείας ἐν ὄρεσι, τῆς σοφίας ἔτυχες, ἀνεσπέρου ἐλλάμψεως, καὶ Ἐκκλησίας ὤφθης διδάσκαλος, ἐν ὑψηγόρῳ φθογγῇ τῶν λόγων σου. Ὅθεν τιμῶμέν σε, ἐν ἀγαλλιάσεως μάκαρ φωναῖς, συνελθόντες σήμερον, ἐπὶ τῇ μνήμῃ σου.

Πάτερ θεοφόρε Κύριλλε, διερευνήσας βυθόν, τῶν Γραφῶν ἐμμελέστατα, εὗρες τὸν πολύτιμον, μαργαρίτην τῆς γνώσεως· ὃν διανείμας τῇ ἐκλογάδι σου, αἱρετιζόντων ἐσμὸν κατῄσχυνας, καὶ διετράνωσας, πίστιν τὴν Ὀρθόδοξον πνευματικῶς, ἀφειδήσας θλίψεων, ὡς γενναιότατος.

Πάτερ θεοφόρε Κύριλλε, ἀνθοφορῶν ἐπὶ γῆς, ἀρετὰς βίου κρείττονος, δι᾿ ἀγώνων πίστεως, ὥσπερ φοῖνιξ ὑψίκομος, ἐν τοῖς ὑψίστοις καρποὺς ἐτρύγησας, ἀθανασίας θείᾳ ἐν χάριτι, καὶ ἀναδέδειξαι, ἔμψυχον παράδειγμα πᾶσιν ἡμῖν, τοῖς ἀνευφημοῦσί σου, τὰ κατορθώματα.

Δόξα. Ἦχος πλ. β΄.

Σαλπίζει τῇ οἰκουμένῃ σήμερον, ἐπὶ τῇ θείᾳ σου μνήμῃ, τῶν χαρισμάτων σου τὰ παράδοξα, ὁ θεοφόρος βίος σου, Κύριλλε Ἱεροσολύμων φωστήρ· διὸ καὶ ἡμεῖς, ἐν αὐτῇ συναθροισθέντες, ἐν κατανύξει μελῳδοῦμέν σοι· χαίροις ὁ ἐκ ῥίζης ἀγαθῆς, βλαστὸς ἀγαθὸς ἀναβλαστήσας, καὶ δι᾿ ἀγώνων πολλῶν ἐξανθήσας, τῶν ἀρετῶν τὴν εὐπρέπειαν· χαίροις ὁ σοφίας μυστικῶς, ἐν περισσείᾳ τὴν χάριν θησαυρίσας, καὶ εὐφραδείᾳ λόγων τρανώσας, Ὀρθοδοξίας τὸ μέγα μυστήριον· χαίροις αἱρετιζόντων κατάπτωσις, μυσταγωγὸς πιστῶν θεοσοφώτατος, καὶ Ἐκκλησίας θεολόγος διδάσκαλος. Ἀλλὰ πρέσβευε δεόμεθα Χριστῷ, ὡς παῤῥησίαν πλουτήσας, τὴν εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Τὶς μὴ μακαρίσει Σε, Παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσει Σου τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ Σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾿

ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχάς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. ι᾽ 7,6· γ᾽ 13-15· η᾽ 6,34, 35, 4,12, 14,17,5-9· κβ᾽ 21, 19· ιε᾽ 4).

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν καὶ θνητὸς ὃς εἶδε φρόνησιν· κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν, οὐκ ἀντιτάξεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσι αὐτῇ, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν· ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν εἰσακούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει· αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· ὅτι ἐγὼ ἡ σοφία κετεσκήνωσα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην· ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς· ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν.

Νοήσατε, τοίνυν ἄκακοι, πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά· ὅτι ἀλήθειαν μελετήσει ὁ φάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲ ἐν αὐτοῖς σκολιὸν, οὐδὲ στραγγαλιῶδες· πάντα ἐνώπια τοῖς συνιοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐπὶ Κύριον ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Παροιμ. ι' 31-32· ια' 2, 6, 7, 19, 30· ιγ' 9· ιε' 2· κβ' 11· Ἐκκλησ. η' 1. Σοφ. Σολομ. στ' 12-16, ζ' 30, η' 2-4, 7-8, 13, 18, 21· θ' 1-5, 10-11, 14).

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν δικαίων ἐπίστανται χάριτας. Στόμα σοφῶν μελετᾷ σοφίαν· δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν· καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας· δεκτοὶ δὲ Αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, προγνωσθῆναι καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς

αὐτὴν οὐ κοπιάσει· καὶ ὁ ἀγρυπνήσας δι᾽ αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς περιέρχεται ζητοῦσα καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην καὶ ἐξεζήτησα ἐκ νεότητός μου καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης καὶ αἱρέτις τῶν ἔργων Αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσιν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει· δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων· σημεῖα καὶ τέρατα προγινώσκει καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων· καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ καὶ ἐδεήθην Αὐτοῦ καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ Πατέρων καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· δός μοι τὴν τῶν Σῶν θρόνων πάρεδρον σοφίαν καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων Σου· ὅτι ἐγὼ δοῦλος Σός καὶ υἱὸς τῆς παιδίσκης Σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σΣυ καὶ ἀπὸ θρόνου δόξης Σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστιν παρὰ

Σοί καὶ ὁδηγήσῃ με ἐν γνώσει καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ΄ 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ Αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Σὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

## Εἰς τήν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ θεοβάδιστος Σιών, Κυρίλλου τοῦ οἰκείου Ποιμένος, τὴν μνήμην ἑορτίως ἐπιτελοῦσα. Οὗτος γὰρ ὁ πανεύφημος, εὐαγγελικῶς ἐκ παιδὸς πολιτευσάμενος, τοῦ Θεαδέλφου ἐπὶ θρόνου

ἀνῆλθε, τῇ ψήφῳ τοῦ Παναγίου Πνεύματος· ἔνθα ὡς γνήσιος ποιμήν, καὶ τοῦ Ἀρχιποίμενος Χριστοῦ μιμητής, ἀρίστῃ ποιμασίᾳ ἐνδιαπρέψας, τὴν ποίμνην ἀλώβητον ἐτήρησεν, αἱρετικῶν τῆς ματαίας ἀπάτης, καὶ αὐτὴν διὰ λόγων πνευματεμφόρων, ἐπὶ νομὰς σωτηρίου ἐξέθρεψεν. Ὅθεν αὐτῷ ἐκβοήσωμεν· Πάτερ τρισμακάριστε, ἐν τῇ πίστει καὶ ἡμᾶς συντήρει ἀκεραίους, τοὺς εὐλαβῶς τιμῶντάς σε.

Ἦχος β΄.

Ἅπασα ἔννοια γηγενῶν, ἀπορεῖ ἐξαγγέλλουσα, τῶν ὑπὲρ τῆς εὐσεβείας ἀγώνων σου, τὰ κατορθώματα Ὅσιε Κύριλλε, Ἱεροσολύμων φωστὴρ ἐκλαμπρότατε· τῆς ἀληθείας γὰρ ἐκφαίνων τὸ σωτήριον, Ἀρείου τῶν ἀσεβεστάτων φοιτητῶν, τὰ εἰς ὕψος λαλοῦντα βλασφημίαν, ἐφίμωσας ἀπύλωτα στόματα, καὶ τῆς ἐν τρισί προσώποις Θεότητος, τὴν μονόσεπτον δόξαν διετράνωσας, ἐξερευξάμενος ἐν θεολόγῳ φωνῇ, πίστεως τὰ θεόπνευστα δόγματα. Ὅθεν ὡς νικηφόρον σε ὁπλίτην, τῆς τῶν Πατέρων εὐκλεοῦς παρατάξεως, ἀμαραντίνῳ ἐστεφάνωσε στεφάνῳ, ὁ κραταιὸς Βασιλεύς τῶν δυνάμεων. Αὐτὸν καθικέτευε, ἐν παῤῥησίᾳ πολλῇ δεόμεθα, ἐξ αἱρέσεων φυλάττειν τὴν Ἐκκλησίαν, καὶ σῴζειν τὰς ψυχάς ἡμῶν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἦχος γ΄.

Ὡς ὁπλίτης Χριστοῦ παρατάξεως, μαχαίρᾳ τῶν θεοπνεύστων λόγων σου, τοὺς φαλαγγάρχας τῆς ἀσεβείας κατετρόπωσας, Κύριλλε Πάτερ

παμμακάριστε· τοῦ Παρακλήτου γὰρ ἐν καρδίᾳ, δι᾽ ἀρετῶν τὴν ἰσχὺν εἰσδεξάμενος, τῆς ἀληθείας ἀμέριστον τὸν λόγον διετήρησας, καὶ τὴν Ἁγίαν Τριάδα δογματίσας εὐσεβῶς, Ἀρείου καὶ τῶν αὐτοῦ φοιτητῶν, τὴν βλάσφημον κακόνοιαν διήλεγξας. Ὅθεν σήμερον οἱ πιστοί, ὡς διδάσκαλον εὐσεβείας τιμῶμέν σε, αἰτούμενοι λαβεῖν διὰ σοῦ, παρὰ Κυρίου χάριν ἄφθονον.

Ἦχος δ΄.

Δεῦτε πάντες εὐσεβεῖς, Ἱεροσολύμων τὸν Πρόεδρον Κύριλλον, ἄνθεσιν ἐγκωμίων ἀναδήσωμεν. Οὗτος γὰρ Θεῷ προσκολληθείς, καὶ Αὐτῷ ὡς Ἀγαθῷ προσανέχων, φρόνημα σαρκὸς ῥεούσης, τῷ πνεύματι ὑπέταξε· καὶ ὡς τῇ ψυχῇ καθαρός, Παρακλήτου τὴν χάριν δεξάμενος, ἐπὶ καθέδραν Ἀρχιερέων διέπρεψε, καὶ ὑπὲρ τῆς εὐσεβείας ὑπερβαλλόντως, δι᾽ ἔργων τε καὶ λόγων ἐκοπίασεν, ἵνα πάντας κερδήσῃ, καὶ Χριστῷ προσαγάγῃ, σεσωσμένους τῷ Σωτῆρι, τῷ παρέχοντι καὶ ἡμῖν δι᾽ αὐτοῦ, πταισμάτων ἱλασμόν, καὶ μέγα ἔλεος.

Ἦχος πλ. α΄.

Ὅσιε Πάτερ, ἀεισέβαστε Κύριλλε, τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ φερωνύμως, περιεποιήσω κῦρος οὐράνιον, τῇ ἀκραιφνεστάτῃ θεολογίᾳ σου· ἣν ἐν θεοτυπώτοις βίβλοις, θησαυρὸν ἀσύλητον ἡμῖν καταλείψας, ἠθῶν ὁσίων καθυπογράφεις τὴν εὐπρέπειαν, καὶ γνώσεως εὐσεβείας παρέχεις τὸ σωτήριον. Ὅθεν χρεωστικῶς εὐφημοῦμέν σε, ὡς διδάσκαλον θεόπνευστον πίστεως, καὶ αἰτούμεθα διὰ σοῦ, φωτισμοῦ τυχεῖν τῆς χάριτος.

Δόξα. Ὁ αὐτός.

Ἀνυμνήσωμεν οἱ πιστοί, τὸν θεσπέσιον Κύριλλον, μελῳδικῶς ἐκβοῶντες καὶ λέγοντες, ἐν ἀγαλλιάσει ψυχῶν ἡμῶν· χαίροις ὁ τῶν Ἀποστόλων γεγονώς, μιμητὴς ἀκριβέστατος, καὶ τοῦ Εὐαγγελίου τῷ κόσμῳ, κηρύξας τὸ σωτήριον· χαίροις ὁ τοῦ Χριστοῦ ἐντολῶν, ἀναδειχθεὶς φύλαξ ἀνύστακτος, καὶ ἐξορίαις προσομιλήσας μακραῖς, ὡς εὐσεβῶν δογμάτων ἀντεχόμενος· χαίροις εὐσεβῶν διδαγμάτων, ποταμὸς πολυχεύμων θεόβρυτος, ἐξ ῾Ιεροσολύμων πηγάσας, καὶ καλύπτων ᾿Εκκλησίας τὸ πρόσωπον. Ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν πολλήν, Πάτερ Πατέρων ἐγκαλλώπισμα, τὴν Ἁγίαν Τριάδα ἱκέτευε, σῴζεσθαι τοὺς σὲ μακαρίζοντας.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν Σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τόν Στίχον, Στιχηρὰ Προσόμοια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε εὐφημήσωμεν πιστοί, ἐν ἀγαλλιάσει καρδίας, τὸν Ἱεράρχην Χριστοῦ, Κύριλλον τὸν Ὅσιον, ὡς ὑφηγήτορα, εὐσεβείας τρανότατον, ὡς πρόμαχον θεῖον, Ὀρθοδόξου πίστεως, ὡς φιλοπρόβατον, Ἱεροσολύμων ποιμένα, ὡς μυσταγωγὸν ἀληθείας, καὶ παιδαγωγὸν πιστῶν σοφώτατον.

Στ. *Οἱ Ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Ἔχων τὴν σοφίαν τοῦ Θεοῦ, πόνοις ἀρετῶν ἐνοικοῦσαν, ἐν τῇ καρδίᾳ σου, Ἱεράρχης πέφηνας, θεοειδέστατος, καὶ ἀνδρῶν φαῦλα στόματα, λαλούντων εἰς ὕψος, βλασφημίας ῥήματα, ἔφραξας Κύριλλε. Ὅθεν εἰς αἰῶνας αἰώνων, τῆς Ὀρθοδοξίας ὡς λύχνος, παρὰ πάντων ὕμνοις μακαρίζεσαι.

Στ. *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Θλίψεις καθυπέμεινας μακράς, πόνους καθυπέστης μυρίους, καὶ προσωμίλησας, ἐξορίαις Κύριλλε, ὑπὲρ τῆς πίστεως, καὶ ἐν πᾶσιν ἀδάμαντος, στεῤῥότερος ὤφθης, σύμμαχον κτησάμενος, ἰσχὺν τὴν ἄνωθεν. Ὅθεν εἰς αὐλὰς τοῦ Κυρίου, ἐν ἀγαλλιάσει εἰσῆλθες, δόξης δεδεγμένος στέφος ἄφθαρτον.

Δόξα. Ἦχος πλ. α΄.

Ὅσιε Πάτερ Κύριλλε, θεογνωσίας ἀρότρῳ, καρδίας ἀρούρας γεηπονήσας, ἐν καιρῷ ἑκατοστεύοντας, Θεῷ τοὺς καρπούς, τῶν ἀρετῶν σου προσήνεγκας· δι᾽ αὐτῶν δὲ καί ἐξέθρεψας, ὡς ἄλλος σιτοδότης Ἰωσήφ, Διαθήκης τῆς Νέας τὸν λαόν, ὡς Ἰσραὴλ τῆς χάριτος. Ὅθεν σήμερον εὐλαβῶς, τὴν μνήμην σου ἐπιτελοῦντες, τῆς πολιτείας σου τὰ θαυμάσια διηγούμεθα, καὶ τῷ Κυρίῳ τὸν αἶνον, προσάγομεν κράζοντες· ὁ διὰ τοῦ σοφοῦ Σου Ἱεράρχου, ἐπὶ τῆς γῆς δοξασθείς, Παντοδύναμε δόξα Σοι.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν Σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.

Θείας πίστεως, τῇ δᾳδουχίᾳ, τὴν καρδίαν σου, πεπυρσευμένος, κακοδόξων κατῄσχυνας ἔπαρσιν, καὶ ἐκ Σιὼν ἀνατείλας ὡς ἥλιος, τῆς ᾿Εκκλησίας φωστὴρ ἐχρημάτισας. Ὅθεν πρέσβευε, Χριστῷ τῷ Θεῷ ὦ Κύριλλε, φωτῖσαι τὰς ψυχὰς τῶν ἀνυμνούντων σε.

Ἕτερον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἀρετῶν τὸν χιτῶνα, ἐπενδυσάμενος, τῆς Θεαδέλφου καθέδρας, κοσμήτωρ ὤφθης λαμπρός, ἐν σοφίᾳ τοῦ Χριστοῦ, θεόφρον Κύριλλε, καὶ κατεποίκιλας πιστῶν, τὰς καρδίας μυστικῶς, τῶν λόγων σου εὐμορφίᾳ· διό σε ἀνευφημοῦμεν, τῆς Ἐκκλησίας ὡς διδάσκαλον.

Τὸ ὁμόηχον Θεοτοκίον καὶ Ἀπόλυσις.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α´ Στιχολογίαν, Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου, Σωτήρ.

Συνδράμωμεν πιστῶς, πρὸς τὴν πάνσεπτον μνήμην, Κυρίλλου τοῦ σοφοῦ, τῆς Σιὼν Ποιμενάρχου, τοῦ ζήλῳ διαπρέψαντος, εὐσεβείας καὶ πίστεως, ἀνακράζοντες· Μακαριώτατε Πάτερ, καθικέτευε, ὑπὲρ ἡμῶν παῤῥησίᾳ, τὸν εὔσπλαγχνον Κύριον.

Δόξα. Ὅμοιον.

Χριστοῦ τοὺς Μαθητάς, ἀκριβῶς ἐμιμήσω, καὶ κῆρυξ δυνατός, ἀνεδείχθης ἐν κόσμῳ, θεόφρον Πάτερ Κύριλλε, μυστηρίων τῆς πίστεως. Ὅθεν ἔτυχες, ἀδιαδόχου εὐκλείας, καὶ συμμέτοχος, ἀγγελικῆς συναυλίας, ἐγένου ἀοίδιμε.

Καὶ νῦν. Θεοτοκίον.

Ὡράθης Χερουβίμ, ὑπερέχουσα Κόρη, ἐδείχθης Σεραφίμ, Μαριὰμ ὑπερτέρα, ἀγκάλαις Σου βαστάσασα, τὸν Δεσπότην τῆς κτίσεως· Ὃν δοξάζουσι, τῶν οὐρανῶν αἱ δυνάμεις· ὅθεν πάντες Σε, ὡς ἀληθῆ Θεοτόκον, συμφώνως δοξάζομεν.

Μετὰ τὴν β´ Στιχολογίαν, Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ποιμὴν ἀνηγόρευσαι, ψήφῳ Θεοῦ τῆς Σιών, καὶ ποίμνην ἐφύλαξας, αἱρετικῶν ἀπειθῶν, ἀλώβητον Κύριλλε· σὺ γὰρ ὑψηγορίαις, ὀρθοδόξων δογμάτων,

ἔλαμψας ὑπὲρ λόγον, ὡς οὐράνιος λύχνος· διό σε εὐφημοῦμεν, τελοῦντες τὴν μνήμην σου.

Δόξα. Ὅμοιον.

Ἀρείου κατῄσχυνας, τοὺς ἀσεβεῖς φοιτητάς, τρανώσας τὸ κήρυγμα, τῆς ἀληθείας σοφέ, ἐν λόγοις σοφίας σου· ὤφθης τῇ προαιρέσει, ἀκατάπληκτος Μάρτυς, Κύριλλε ἐξορίας, ὑποστὰς καὶ κακώσεις· διὸ παρὰ Κυρίου, λαμπρῶς τεθαυμάστωσαι.

Καὶ νῦν. Θεοτοκίον.

Ἀφράστως ἐκύησας, δίχα τροπῆς καὶ φυρμοῦ, τὸν Λόγον τὸν ἄναρχον, τοῦ προανάρχου Πατρός, Ἁγνὴ ἐξ αἱμάτων Σου, σῴζοντα τοῦ γενάρχου, τῆς πικρᾶς καταδίκης, πλούτῳ φιλανθρωπίας, τὸ ἀνθρώπινον γένος· διό Σε ὡς Θεοτόκον, ἀεὶ μεγαλύνομεν.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ποταμὸς ἐπήγασας, θεογνωσίας, ἐκ Σιὼν καὶ πρόσωπον, τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, διδασκαλίας σου νάμασι, Κύριλλε Πάτερ, ἐνθέως κατήρδευσας.

Δόξα. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Δένδρον κατάκαρπον, βίου σεμνότητος, φοῖνιξ γλυκύκαρπος, κρείττονος γνώσεως, ἐν γεωργίᾳ θεϊκῇ, ὦ Κύριλλε ἀνεδείχθης· σὺ γὰρ ἐκ νεότητος, τῷ Χριστῷ ἠκολούθησας, καὶ Αὐτῷ ἐλάτρευσας, ἐν ψυχῆς καθαρότητι· διό σε γηθοσύνως ὑμνοῦμεν, ὡς εὐσεβείας στεφανίτην.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ σωματώσασα, τὸν πρὶν Ἀσώματον, καὶ γαλουχήσασα, Αὐτὸν ὡς νήπιον, θεομακάριστε Ἁγνή, Παρθένε εὐλογημένη, οἰκτιρμῶν ὡς ἔχουσα, θησαυρὸν ἀδαπάνητον, ῥῦσαι πάσης θλίψεως, καὶ παντοίων κακώσεων, τοὺς πόθῳ Σοι ἀπλέτῳ βοῶντας· χαῖρε ἡ Κεχαριτωμένη.

Οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ´ ἤχου.

Προκείμενον. *Οἱ Ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Στ. *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Εὐαγγέλιον, ζήτει τῇ ι´ Νοεμβρίου.

Ὁ Ν´ Ψαλμός.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου…

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Ἰδιόμελον. Ἦχος πλ. β´. Στ. *Ἐλέησόν με, ὁ Θεός,…*

Ὅσιε Πάτερ Κύριλλε, τῆς Σιὼν ἐγκαλλώπισμα, ἡ Ἐκκλησία τῇ μνήμῃ σου, ἐν τοῖς λόγοις σου φαιδρῶς ὡραϊζομένη, εὐσεβάστως βοᾶ σοι· μύστα τοῦ Λόγου, Ἀποστόλων κοινωνέ, Ἱεραρχῶν σύσκηνε, καὶ Δικαίων συμμέτοχε, μνημονεύων μὴ παύσῃ πρὸς Θεόν, τῶν προστρεχόντων τῇ σκέπῃ, τῆς θερμῆς σου ἀντιλήψεως.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου β΄.

Κανὼν τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς· *Παρθένε χαῖρε ἀγαθῶν ἡ αἰτία. Κυρίλλου.*

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

Θαλάσσης, τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας Ἰσραήλ, σταυροτύποις Μωσέως χερσί, τοῦ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐτροπώσατο.

Παρθένε, ὡς ἀγαθὴ ὑπάρχουσα, τὸν νοῦν μου φώτισον, φωτιστικῇ λαμπρότητι τῇ Σῇ, ἵνα μέλψω πιστῶς ἐν ᾠδαῖς, τὰ ὑπὲρ νοῦν θαυμάσια, Θεοκυῆτορ τῆς λοχείας Σου.

Ἁγίων, ἁγιωτέρα γέγονας, φρικτῶς κυήσασα, ἄνευ σπορᾶς τὸν Λόγον τοῦ Πατρός, Ὃν δυσώπει ἀεὶ μητρικῶς, ὑπὲρ ἡμῶν Πανάχραντε, τῶν πεποιθότων τῇ πρεσβείᾳ Σου.

Ῥανίδας, τῆς θεαυγοῦς Σου χάριτος, ἡμῖν ἐπόμβρισον, τοῖς τηκομένοις πάθεσι πολλοῖς, Θεοτόκε Παρθένε Ἁγνή, καὶ ῥῦσαι τοὺς τιμῶντάς Σε, πυρὸς ἀστέκτου τῆς κολάσεως

Θεοῦ Σε, τὸ φωτεινὸν παλάτιον, ἐγκωμιάζομεν, ἀναβοῶντες ἅπαντες Ἁγνή· χαῖρε Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, τοὺς γηγενεῖς ἡ σώσασα, ἀδαμιαίας παραβάσεως.

Κανὼν πρῶτος τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς· *Κύριλλον ὑμνῶ τὸν Πρόεδρον Αἰλίας.* Θεοφάνους.

Ἦχος ὁ αὐτός. Τριστάτας κραταιούς.

Κοσμήσας τὴν ψυχήν, ἀρετῶν ταῖς ἰδέαις, χαρισμάτων δεκτικήν, τοῦ Πνεύματος αὐτήν, τοῦ Ἁγίου τετέλεκας· ὅθεν ἄβυσσον σοφίας, ἐξηρεύξω αἱρέσεων, τὰ πελάγη ξηραίνουσαν Κύριλλε.

Ὑπέρτερον τὸν νοῦν, τῶν ἐνύλων εἰργάσω, τῶν ἀΰλων λειτουργῶν, συνόμιλος δειχθείς· τῷ πυρὶ δὲ τῶν λόγων σου, πᾶσαν ἔφλεξας τὴν ὕλην, τῶν αἱρέσεων Κύριλλε, Ἐκκλησίας πυρσὸς ὁ ἀκοίμητος.

Ῥημάτων σου ὀδμαῖς, ἡδυπνόοις μανίας, τὸν ἐπώνυμον σοφέ, αἱρέσεων πασῶν, τὸν ἀνύποιστον βόρβορον, ἤλασας μακρὰν ποιήσας, ὡς ποιμὴν ἀληθέστατος, ὡς Χριστοῦ εὐωδίᾳ γενόμενος.

Θεοτοκίον.

Ἰλύος ἐκ παθῶν, λογισμῶν τρικυμίας, ἐκ βελῶν τοῦ πονηροῦ, ἐκ πάσης προσβολῆς, ἐναντίας διάσωσον, ἅπαντας τοὺς ἀνυμνοῦντας, Σοῦ Πανάμωμε Δέσποινα, τὸν ἀνέκφραστον τόκον Πανάχραντε.

Κανὼν δεύτερος τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς· *Κύριλ(λ)ον μέλπει ὁ ὁμώνυμος πίστει. Ἀμήν.*

Ἦχος πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ.

Κύριλλον τὸν φωστῆρα, Ἱεροσολύμων ἀνυμνήσωμεν, ὡς εὐσεβείας μύστην, καὶ θεῖον διδάσκαλον, τῆς ἄνωθεν γνώσεως.

Ὕμνοις σε κατὰ χρέος, Κύριλλε θεόφρον καταστέφομεν, ὅτι ἐπώφθης στῦλος, κρηπὶς καὶ ἑδραίωμα, δογμάτων τῆς πίστεως.

Ῥήτωρ τῆς Ἐκκλησίας, Κύριλλε ἐδείχθης μεγαλόφωνος, ἐν θεοπνεύστοις λόγοις, Θεοῦ τὸ σωτήριον, κηρύξας πανόλβιε.

Θεοτοκίον.

Ἵλεων τὸν τεχθέντα, ἀπερινοήτως ἐξ αἱμάτων Σου, Σοῖς ταπεινοῖς ἱκέταις, ἁγίαις πρεσβείαις Σου, Παρθένε ἀπέργασαι.

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Εὐφραίνεται ἐπὶ Σοί, ἡ Ἐκκλησία Σου Χριστὲ κράζουσα· Σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Εὐφραίνεται ἐπὶ Σοί, ἡ Ἐκκλησία τῶν πιστῶν κράζουσα· χαῖρε ἁγνή Δέσποινα, Λόγον τοῦ Θεοῦ ἡ γεννήσασα.

Ναμάτων ζωοποιῶν, τῆς μητρικῶν Σου δωρεῶν πλήρωσον, ὡς ἀγαθὴ πέλουσα, Μῆτερ τὰς ψυχάς τῶν ὑμνούντων Σε.

Ἐλέησον Μαριάμ, εὐλογημένη τοῦ παντὸς Ἄνασσα, τοῦ εὐσεβῶς σπεύδοντας, τῇ ὑπερφυεῖ προστασίᾳ Σου.

Χειμῶνος τῶν πειρασμῶν, στῆσον Παρθένε τὸν σφοδρὸν κλύδωνα· Σὲ γὰρ πιστοὶ ἔχομεν, σκέπην κραταιὰν καὶ προσφύγιον.

Κανὼν πρῶτος. Ὅτι στεῖρα ἔτεκεν.

Λάμπων ταῖς φαιδρότησι, πνευματικῆς σῆς σοφίας, τὸ τριφεγγὲς τῆς Θείας Τριάδος, Πάτερ τηλαυγῶς, τοῖς ἐπὶ γῆς ἐτράνωσας, δι᾽ ἧς σκότους πλάνης ἐλυτρώθημεν.

Λύρα ὤφθης Πνεύματος, τοῦ Παναγίου θεόφρον, ἀναφωνοῦσα μέλος ἐπιφανείας τοῦ Χριστοῦ, Ὃν ἐν δυσὶ ταῖς φύσεσιν ἐκήρυξας, θέλγων τὰς ψυχὰς ἡμῶν.

Οἶκος ἁγιάσματος, σοῦ ἡ ψυχὴ ἀνεδείχθη, ἐν ᾧ Πατὴρ Υἱός τε, καὶ Πνεῦμα τὸ ζωαρχικόν, ὑπερφυῶς κατῴκησεν ᾧ ψάλλομεν· Ἅγιος εἶ Κύριε.

Θεοτοκίον.

Νοῦς οὐδὲ οὐράνιος, τὴν ὑπὲρ νοῦν Σου λοχείαν, διερμηνεύει Κόρη· Νοῦ γὰρ τοῦ πρώτου ἐν γαστρί, Λόγον Ἁγνὴ συνέλαβες, τὸν τὰ πάντα λόγῳ συστησάμενον.

Κανὼν δεύτερος. Σὺ εἶ τὸ στερέωμα.

Λαοῦ προϊστάμενος, τοῦ χριστωνύμου θεσπέσιε, ὑπὲρ αὐτοῦ Κύριλλε ποικίλαις, προσομίλησας θλίψεσιν.

Ὁ φθόγγος σου Κύριλλε, εἰς γῆς ἐξῆλθε τὰ πέρατα, ἐκ τῆς Σιὼν τῆς θεοβαδίστου, Ἀποστόλων ὡς πρότερον.

Νευραῖς τῆς σοφίας σου, Κύριλλε Πάτερ ἀπέπνιξας, τῶν φοιτητῶν τοῦ δεινοῦ Ἀρείου, τὴν ἀλλόκοτον ἔπαρσιν.

Θεοτοκίον.

Μαρία Πανάχραντε, ἐλπὶς πιστῶν ἀκαταίσχυντε, παντοδαπῶν ῥῦσαί με κινδύνων, τὸν ἀχρεῖον ἱκέτην Σου.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν σοφίαν τοῦ Λόγου πεπλουτηκώς, ἐξηρεύξω δογμάτων ῥεῖθρα ζωῆς, καὶ πᾶσαν κατήρδευσας, εὐσεβούντων διάνοιαν, καὶ βακτηρίᾳ θείᾳ, ποιμάνας τὸ ποίμνιον, ἐπὶ χλόην θείας, ἐξέθρεψας γνώσεως· ὅθεν ὡς Ποιμένα, καὶ διδάσκαλον μέγαν, καὶ πίστεως πρόμαχον, εὐφημοῦμέν σε Κύριλλε, Ἱεράρχα κραυγάζοντες· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Ἡ γλῶσσά σου σοφέ, θεϊκῆς ἐπιπνοίας, ἐφώτισε λαούς, μίαν σέβειν Τριάδα, τῇ φύσει ἀμέριστον, μεριστὴν τοῖς προσώποις δέ· ὅθεν Κύριλλε, τὴν παναγίαν σου μνήμην, ἑορτάζομεν, πρὸς τὸν Θεὸν πρεσβευτήν σε, ἀεὶ προβαλλόμενοι.

Καὶ νῦν. Θεοτοκίον.

Μητέρα Σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον ὀφθεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν Σὴν ἀγαθότητα· Σὲ γὰρ

ἔχομεν, ἁμαρτωλοί προστασίαν, Σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Πανάμωμον.

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, Σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· δόξα τῇ δυνάμει Σου Κύριε.

Ἄδομεν Παρθένε Σοι ᾆσμα πιστῶς, ὅτι ἀπειράνδρως κυήσασα, τὸν Βασιλέα, καὶ Δεσπότην τοῦ παντός, τοῖς ἐξ Ἀδάμ διήνοιξας, Μῆτερ Παραδείσου τὴν εἴσοδον.

Ἴασαι τὸ ἄλγος μου τὸ ψυχικόν, παῦσον τὴν ὀδύνην τοῦ σώματος, σῶσόν με σῶσον, τὸν ταλαίπωρον Ἁγνή, ταῖς δραστικαῖς πρεσβείαις σΣυ, πρὸς τὸν πολυεύσπλαγχνον Κύριον.

Ῥήμασιν ἑπόμενοι Μῆτερ τοῖς Σοῖς, τὸν μακαρισμόν Σοι προσᾴδομεν, ὅτι μεγάλα, ὁ Θεὸς ὁ δυνατός, ἐποίησέ Σοι Ἄχραντε, σῴζων ὡς οἰκτίρμων τὸν ἄνθρωπον.

Ἔτεκες τὸν Κύριον ὑπερφυῶς, καὶ Παρθένος ἔμεινας ἄφθαρτος, πρὸς σωτηρίαν, τῶν βοώντων Σοι πιστῶς· χαῖρε Μαρία ἄχραντε, νάματος ζωῆς κρήνη ἄφθονος.

Κανὼν πρῶτος. Τοὺς οὐρανοὺς ἡ ἀρετή.

Ὑπερκοσμίου σου σοφίας ῥεῖθρον Ὅσιε, σοῦ ἡ καρδία δεξαμένη ἐξηρεύξατο, διδασκαλίας ἄβυσσον, νόας ἀσεβούντων βυθίζουσαν.

Μίαν ἰσχύν, μίαν οὐσίαν καὶ βούλησιν, τρισυποστάτου Θεότητος ἐκήρυξας, καὶ πολυθέου Κύριλλε, πλάνης τὸν χειμάῤῥουν διέλυσας.

Νοῦν βορβορώδη καὶ παράφρονα τοῦ Μάνεντος, ὡς νουνεχὴς καὶ θεοδίδακτος μακάριε, ταῖς ἀστραπαῖς τῶν λόγων σου, φλέξας ἐμφανῶς ἐστηλίτευσας.

Θεοτοκίον.

Ὡς ἀνωτέραν πάντων τῶν ποιημάτων Ἁγνή, τὸν Ποιητὴν τῆς κτίσεως συνέλαβες, καὶ ὑπὲρ φύσιν τέτοκας, φύσιν τὴν ἡμῶν ἀναπλάττοντα.

Κανὼν δεύτερος. Εἰσακήκοα Κύριε.

Ἐξηράνθησαν ῥεύματα, τῶν θεομαχούντων τῆς ματαιότητος, πλημμυρίδι τῆς σοφίας σου, Ἱεράρχα Κύριλλε πανεύφημε.

Λαμπρυνθείς Θείῳ Πνεύματι, ζόφον ἀσεβείας πάντα ἐμείωσας, καταυγάζων ἐν τοῖς λόγοις σου, Ἐκκλησίας Κύριλλε τὸ πλήρωμα.

Πυριμόρφῳ τοῦ Πνεύματος, χάριτι ἐδείχθης ἄλλος Ἀπόστολος, καταγγέλων Πάτερ Κύριλλε, τοῦ Κυρίου λόγον τὸν σωτήριον.

Θεοτοκίον.

Ἐκ κινδύνων διάσωσον, πάσης δυσχερείας καὶ περιστάσεως, τοὺς πιστῶς ὁμολογοῦντάς Σε, Θεοτόκον Δέσποινα ἀπείρανδρον.

Κανὼν τῆς Θεοτόκου. ᾨδὴ ε΄. Ὁ Εἱρμός.

Σὺ Κύριέ μου φῶς, εἰς τὸν κόσμον ἐλήλυθας· φῶς ἅγιον ἐπιστρέφον, ἐκ ζοφώδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντάς Σε.

Ἀπάλλαξον ἡμᾶς, τοῦ βελίαρ τῆς μήνιδος, ἡ τόκῳ ἀκαταλήπτῳ, ὑπερβᾶσα τὰς τάξεις, Ἀγγέλων Μητροπάρθενε.

Γηΐνων ἐννοιῶν, ἀνωτέραν ἀνάδειξον, Πανάχραντε τὴν ψυχήν μου, πρὸς Θεὸν ὁδηγοῦσα, αὐτὴν χειραγωγίᾳ Σου.

Ἀκτίστου καὶ κτιστῆς, ἀναδέδειξαι φύσεως, μεθόριον Θεοτόκε, τῆς Τριάδος τὸν ἕνα, σαρκὶ φρικτῶς κυήσασα.

Θεὸν τὸν δι᾽ ἡμᾶς, σαρκωθέντα ἐν σπλάγχνοις Σου, ἱκέτευε Θεομῆτορ, ἵνα εὕρωμεν πάντες, πταισμάτων τὴν συγχώρησιν.

Κανὼν πρῶτος. Εἱρμὸς ὁ αὐτός.

Τῇ ῥάβδῳ τῆς σεπτῆς, Ἱεράρχα σοφίας σου, ἐποίμανας ἐπὶ ὕδωρ, Ὀρθοδόξου λατρείας, τὴν ποίμνην σου μακάριε.

Ὁ λόγος σου φωτί, θεϊκῷ ἀστραπτόμενος, ὦ Κύριλλε φωτισθέντων, ἐν Ἱεροσολύμοις, ἀχλὺν ἀγνοίας ἔλυσε.

Θεοτοκίον.

Νὺξ Πάναγνε παθῶν, καὶ κακῶν ἀμαυρότητες, καλύπτουσι τὴν ψυχήν μου· Φωτοδότην τεκοῦσα, καταύγασόν με δέομαι.

Κανὼν δεύτερος. Φώτισον ἡμᾶς.

Ἴθυνας τὴν σήν, ποίμνην Κύριλλε μακάριε, πρὸς νομὰς θεοσεβείας ἀσφαλῶς, βακτηρίᾳ τῶν σοφῶν σου κατηχήσεων.

Ὅπλον ἀληθῶς, Θείου Πνεύματος οἱ λόγοι σου, πρὸς καθαίρεσιν ἀνδρῶν θεοστυγῶν, ἀνεδείχθησαν ὦ Κύριλλε θεόσοφε.

Ὅλος ταπεινῷ, ὡς κοσμούμενος φρονήματι, τὰς ἐπάρσεις τῶν Ἀρείου φοιτητῶν, διδαχῶν σου ἐν πραΰτητι κατέβαλες.

Θεοτοκίον.

Μώμου με παθῶν, τῶν κατ᾽ ἄμφω ἀποκάθαρον, ἐπιχέουσα τὸ ὕδωρ μυστικῶς, τῆς ἀμέτρου Θεοτόκε εὐσπλαγχνίας Σου.

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ στ΄. Ὁ Εἰρμός.

Ἐβόησε, προτυπῶν τὴν ταφὴν τὴν τριήμερον, ὁ Προφήτης, ᾿Ιωνᾶς ἐν τῷ κήτει δεόμενος· ἐκ φθορᾶς με ῥῦσαι, ᾿Ιησοῦ Βασιλεῦ τῶν δυνάμεων.

Ὡραίαν Σε, ψαλμικῶς ὁ Δεσπότης εὑράμενος, Θεοτόκε, ἀπειράνδρως ἐν Σοὶ κατεσκήνωσεν, Ὅν δυσώπει σῶσαι, τοὺς εἰς Σὲ ἀδιστάκτως ἐλπίζοντας.

Νοσοῦντά με, Παναγία κατ᾽ ἄμφω θεράπευσον, τῇ βοτάνῃ, μητρικῆς σου πρεσβείας πρὸς Κύριον, καὶ παράστησόν με, σεσωσμένον Αὐτῷ ὡς φιλεύσπλαγχνος.

Ἡλίου Σε, λαμπροτέραν ὁ Κύριος ἔδειξε, τὴν σκοτίαν, τῆς κατάρας Ἁγνὴ ἀπελαύνουσαν· διὸ φώτισόν με, τὸν ἐν σκότει κακίας καθεύδοντα.

Ἀστέκτου με, ἁμαρτίας φλογί ὀδυνώμενον, χάριτός Σου, ὦ Μαρία τῇ δρόσῳ ἀνάψυξον· καὶ γὰρ πλήν Σου ἄλλην, ἐν τῷ βίῳ οὐκ ἔχω βοήθειαν.

Κανὼν πρῶτος. Εἱρμὸς ὁ αὐτός.

Ποταμὸς σύ, ὡς ἐξ ἄλλης Ἐδέμ ἐκπεπόρευσαι, ζωηῤῥύτων, πεπλησμένος ναμάτων τοῦ Πνεύματος, καὶ τῆς Ἐκκλησίας, Ἱεράρχα μεθύσκων τοὺς αὔλακας.

Ῥημάτων σου, τῷ πυρσῷ θαλαττίου ἐκ κλύδωνος, ἀσεβείας, διασῴζεις λαὸν ἱερώτατε, γαληνὸν πρὸς ὅρμον, ὀρθοδόξως αὐτὸν ἐκκαλούμενος.

Θεοτοκίον.

Οὐράνωσας, γεωθεῖσαν τὴν φύσιν Πανάμωμε, τῶν ἀνθρώπων, καὶ φθαρεῖσαν αὐτὴν ἐκαινούργησας· διὰ τοῦτο Κόρη, ἀσιγήτοις φωναῖς Σε γεραίρομεν.

Κανὼν δεύτερος. Τὴν δέησιν ἐκχεῶ.

Ὡς ἔνθεος δημηγόρος Κύριλλε, ὑφηγήσει τοῦ σεπτοῦ Παρακλήτου, τῆς ἐν Χριστῷ ἀληθείας τὸν λόγον, ἐπ᾽ ὠφελείᾳ πολλῶν διερμήνευσας, καὶ ἐξωμάλισας αὐτοῖς, θεοπνεύστως τὴν τρίβον τῆς πίστεως.

Νενίκηκας ἀνδρικῶς παράταξιν, ἀπειθούντων δυσσεβῶν θεομάκαρ, οὐ πεποιθώς ἀνθρωπίνῃ σοφίᾳ, ἀλλὰ μωρίᾳ Χριστοῦ τοῦ κηρύγματος, καὶ εἴληφας παρὰ Θεοῦ, τὸ τῆς νίκης διάδημα Κύριλλε.

Ὑμνοῦμέν σε κατὰ χρέος Κύριλλε, καταφεύγοντες τῇ σῇ ἀντιλήψει· μὴ οὖν ἡμᾶς θεομάκαρ ἀπώσῃ, ἀλλὰ προστάτης ταχύτατος φάνηθι, διασκεδάζων πειρασμῶν, τὰς ἐφόδους εὐχαῖς σου πρὸς Κύριον.

Θεοτοκίον.

Μυστήριον μυστηρίων Ἄχραντε, τῆς λοχείας Σου ὑπάρχει τὸ θαῦμα· ὁ τοῦ Πατρὸς γὰρ συνάναρχος Λόγος, παρθενικῶν ἐξ αἱμάτων Σου ἄνθρωπος, ἐπέφανεν σῴζων ἡμᾶς, καταδίκης πικρᾶς τοῦ Προπάτορος.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Ἡ θεοβάδιστος Σιὼν αἴνει τὸν Κύριον, ὅτι ποιμένα σοι Αὐτὸς καλὸν ἀνέδειξεν, ἄνδρα δίκαιον ἐν πᾶσιν ἠγλαϊσμένον, Παρακλήτου ἐν δυνάμει ποιμαινόμενον, θείας γνώσεως τῇ ῥάβδῳ στηριζόμενον, ᾧ καὶ κράζομεν·Χαίροις, Κύριλλε Ὅσιε.

## Ὁ Οἶκος.

Ὡς θεόφυτος φοῖνιξ, Πάτερ πεφυτευμένος, Γραφῶν ταῖς μυστικαῖς διεξόδοις, διδασκαλίας θείας καρπούς, ἐν γεωργίᾳ Θεοῦ ἀνεβλάστησας, δι᾽ ὧν ἡδύνεις Κύριλλε, καρδίας τῶν πιστῶς βοώντων·
Χαῖρε, ὁ μέγας ἐν Ἱεράρχαις·
χαῖρε, ὁ θεῖος ἐν Πατριάρχαις.
Χαῖρε, εὐσεβοῦς ῥιζουχίας ἐκβλάστημα·
χαῖρε, μυστικῆς δᾳδουχίας ἀπαύγασμα.
Χαῖρε, μάχαιρα ἀμφίστομος ἀπειθούντων ἀσεβῶν·
χαῖρε, κῦρος θεοδώρητον Ἐκκλησίας τῶν πιστῶν.
Χαῖρε, ὅτι ἀντέστης βασιλεῖ θεομάχῳ·
χαῖρε, ὅτι ὑπῆλθες χαλεπὰς ἐξορίας.
Χαῖρε, δι᾽ οὗ ἀλήθεια ἔλαμψε·
χαῖρε, δι᾽ οὗ ὁ πλάνος ἐστέναξε.
Χαῖρε, Σιὼν ἀληθὴς ποιμενάρχης·
χαῖρε, πιστῶν κραταιὸς παραστάτης·
Χαίροις, Κύριλλε Ὅσιε.

## Μηνολόγιον.

Τῇ ΙΗ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Κυρίλλου, Ἀρχιεπισκόπου Ἱεροσολύμων, τοῦ Μυσταγωγοῦ.

### Στίχοι.

*Εἴσελθε, κέρδος ἐκ ταλάντων προσφέρων,*
*εἰς τὴν χαράν, Κύριλλε, τοῦ σοῦ Κυρίου.*
*Ὀγδοάτῃ δεκάτῃ θάνατος μέλας εἷλε Κύριλλον.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἵνα Ἄχραντε, διὰ παντὸς δοξάζομεν, τὸν θεῖον τόκον Σου, τῷ ἀνεσπέρῳ φωτί, τῆς θείας Σου χάριτος, ψυχὰς καταύγασον, τῶν βοώντων Σοι· χαῖρε ἡ Θείῳ Πνεύματι, μανναδόχος Μῆτερ στάμνος

Τεῖχος ἄῤῥηκτον, γενέσθω ἡ πρεσβεία Σου, πρὸς τὸν Φιλάνθρωπον, τῶν ἀοράτων ἐχθρῶν, ἀπείργουσα φάλαγγας, καὶ διασῴζουσα, τοὺς κραυγάζοντας· χαῖρε Παρθένε ἄσπιλε, τῆς ζωῆς ἡ μυροθήκη.

Ἱκετεύομεν, Παρθένε οἱ ἀνάξιοι, Σὲ τὴν γεννήσασαν, τὸν Βασιλέα Χριστόν, ἐκ πάσης κακώσεως, ἡμᾶς διάσωσον, καὶ ὑπέρτερον, τὸν νοῦν ἡμῶν συντήρησον, τῶν φθαρτῶν καὶ ἐπιγείων.

Ἀπειρόγαμε, ἀφλέκτως ἡ βαστάσασα, φύσιν τὴν ἄστεκτον, ἐν τῇ νηδύϊ τῇ Σῇ, θερμῶς ἱκετεύω Σε, τὰς βάσεις στήριξον, τῆς καρδίας μου, τῷ φόβῳ Θεονύμφευτε, τοῦ ἐκ Σοῦ σωματωθέντος.

Κανὼν πρῶτος. Νέοι τρεῖς ἐν Βαβυλῶνι.

Ἔχων πῦρ ἐν διανοίᾳ, φόβου Πάτερ τοῦ Θεοῦ, ὕλην ἀπετέφρωσας, τὴν τῶν ἡδονῶν ἀναμέλπων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Δάκρυσι παθῶν τὴν φλόγα, σβέσας μάκαρ τὸν πυρσόν, ἐτήρησας ἄσβεστον, σοῦ τὸν τῆς ψυχῆς ἀνακράζων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ῥεῖθρον ζῶν ἔχων τὴν χάριν, Πνεύματος ἐν τῇ ψυχῇ, θεόφρον ἀνέβλυσας, Πάτερ ποταμοὺς διδαγμάτων, τὴν ᾿Εκκλησίαν ἄρδοντας, εὐσεβῶς σε γεραίρουσαν.

Θεοτοκίον.

Ὅλην Σε καθαγιάζει, Ἅγιος ὁ ἐκ τῆς Σῆς, σαρκὸς δομησάμενος, σάρκα ἑαυτῷ Θεοτόκε, ὁ ἐν Ἁγίοις Κύριος, κατοικῶν καὶ Θεός ἡμῶν.

Κανὼν δεύτερος. ῾Ο δι᾿ Ἀγγέλου Παῖδας.

Ὁσιακῶς βιώσας, ἀρεταῖς ἐν παντοίαις, ποιμαντικῶς τε Κύριλλε, ἐπὶ τῆς γῆς διαπρέψας, ζωῆς ἀφθάρτου ὤφθης ἐν μετοχῇ, σὺν ῾Αγίων χοροῖς.

Σέ τὸν καλὸν ποιμένα, τὸν σοφὸν ῾Ιεράρχην, τὸν ἱερὸν διδάσκαλον, τῆς τοῦ Χριστοῦ ᾿Εκκλησίας, ἀεὶ τιμῶμεν Κύριλλε οἱ πιστοί, εὐθυμίᾳ ψυχῆς.

Πυρὶ ἐνθέων λόγων, ἀσεβείας ἀκάνθας, ὁλοσχερῶς κατέφλεξας, Πάτερ ἠγλαϊσμένε, τὴν ᾿Εκκλησίας ἄρουραν γεωργῶν, ἐν καμάτοις πολλοῖς.

Θεοτοκίον.

Ἰδοὺ πιστῶς βοῶ Σοι, Παναγία Παρθένε, σῶσόν με, σῶσον Δέσποινα· ῥῦσαι δεινῶν κινδύνων, καὶ ἐπωδύνων Μῆτερ συμφορῶν, ἵνα ὑμνῶ Σε ἀεί.

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ η΄. Ὁ Εἱρμός.

Λυτρωτὰ τοῦ παντὸς Παντοδύναμε, τοὺς ἐν μέσῳ φλογὸς εὐσεβήσαντας, συγκαταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας ψάλλειν· πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Καταιγίδι παθῶν χειμαζόμενον, πρὸς αἰθρίαν Θεοῦ με ὁδήγησον, εὐλογημένη Πάναγνε, ἵνα πόθῳ βοῶ Σοι· χαῖρε Μαρία, τὸ πανθαύμαστον θαῦμα τῆς κτίσεως.

Ὑπερτέρα Ἁγνὴ ἀναδέδειξαι, τῶν Ἀγγέλων καὶ πάσης τῆς κτίσεως, τὸν Ποιητὴν κυήσασα, ἐξ ἁγνῶν Σου αἱμάτων· ὅθεν τὸν νοῦν μου, πρὸς Αὐτοῦ τὴν ἀγάπησιν ὕψωσον.

Ῥυπωθέντα αἰσχροῖς ἁμαρτήμασι, κάθαρόν με Παρθένε Πανύμνητε, ἡ καθαρὰ καὶ ἄσπιλος, ἵνα ψάλλω Σοι πίστει· χαῖρε ταμεῖον, Θεϊκῆς ἀγαθότητος Ἄχραντε.

Ἱλαρῷ Σου Ἁγνὴ ἱκετεύομεν, ἐφ᾽ ἡμᾶς νῦν ἐπίβλεψον ὄμματι· ἐχθροῦ γάρ κινδυνεύομεν, τῇ ἀμέτρῳ κακίᾳ· πρόφθασον σῶσον, ὅτι Σὲ προστασίαν κεκτήμεθα.

Κανὼν πρῶτος. Εἱρμὸς ὁ αὐτὸς.

Νυσταγμὸν ἀμελείας μακάριε, ἐκ βλεφάρων ψυχῆς ἀπωσάμενος, τὸν τοῖς δικαίοις πρέποντα, νῦν κεκοίμησαι ὕπνον, καὶ πρὸς ἡμέραν, ἀνεσπέρου φωτὸς μεταβέβηκας.

Ἀστραπαῖς σου τῶν λόγων κατέφλεξας, φρυγανώδεις αἱρέσεις ἀοίδιμε, καὶ τοὺς πιστοὺς ἐφώτισας, μίαν σέβειν Τριάδα, τοῖς χαρακτῆρσιν, ἐν μονάδι ὑπάρχουσαν φύσεως.

Ἱερεύσας σαυτὸν ταῖς ἀσκήσεσι, διὰ σὲ τῷ νεκρῷ χρηματίσαντι, σὺ ἀναιμάκτως τέθυκας, Ἱεράρχης ὡς θεῖος, ὡς μυστηρίων, ἀποῤῥήτων διάκονος Κύριλλε.

Θεοτοκίον.

Λυτρωθέντες ἀρᾶς τῆς Προμήτορος, διὰ Σοῦ τῆς ἁγνῆς Θεομήτορος, εὐλογημένη Δέσποινα, εὐλογοῦμεν Παρθένε, δεδοξασμένη, τὸν πανάγιον τόκον Σου σέβοντες.

Κανὼν δεύτερος. Τόν Βασιλέα.

Σὺ θεωρίας, εἰς θεῖον βάθος ἐγκύψας, Πάτερ Κύριλλε ἀνίχνευσας τὸν πλοῦτον, ζωῆς ἀθανάτου, ἐν Πνεύματι Ἁγίῳ.

Τὰ τοῦ Κυρίου, ἐν τῇ ἁγίᾳ σαρκί σου, ἀνεπλήρωσας παθήματα θεόφρον, ἀγῶνας τελέσας, ὑπὲρ τῆς ᾿Εκκλησίας.

Εὐχροίας Πάτερ, τῆς ἀληθείας τοῦ κάλλους, τοῖς πανσόφοις σου ἐμβλέποντες λογίοις, Χριστόν ἀνυμνοῦμεν, τὸν ἀναδείξαντά σε.

Θεοτοκίον.

Ἱλέωσόν μοι, ὡς ἀγαθὴ Θεομῆτορ, τὸν ἐκ Σοῦ ἐνανθρωπήσαντα ἀφράστως, ἵνα Σε δοξάζω, τὴν Κεχαριτωμένην.

Κανὼν τῆς Θεοτόκου. ᾨδὴ θ΄. Ὁ Εἱρμός.

Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου Σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας, τὰς διεστῶτας φύσεις· διὸ ἐπαγαλλόμενοι, Σὲ Θεοτόκε μεγαλύνομεν.

Λύτρωσαι Πανάμωμε Μῆτερ, ἐκ τῶν κινδύνων τὴν ζωήν μου, καὶ ταῖς ἐντολαῖς τοῦ Κυρίου, ὁδήγησόν με, πρὸς σωτηρίας πλάτος· εἰς Σὲ γὰρ τὴν ἐλπίδα μου, Θεοκυῆτορ ἀνατίθημι.

Λάμπουσα ἁγνείας Σου κάλλει, σαρκὶ ἐκύησας τὸν Λόγον, Ἥλιον τῆς δόξης τὸν μέγαν, δι᾽ εὐσπλαγχνίαν, Θεοκυῆτορ Κόρη, φωτίζοντα τὰ σύμπαντα, φωτὶ ἀκτίστῳ τῆς Θεότητος.

Ὅρμος ὡς γαλήνιος Κόρη, τὸν θαλαττεύοντα ἀθλίως, ἐν ταῖς τρικυμίαις του βίου, κυβέρνησόν με, πρὸς ἀσφαλῆ λιμένα, τῆς σωτηρίας Ἄχραντε, τοῦ σαρκωθέντος ἐξ αἱμάτων Σου.

Ὕμνοις μακαρίζομεν πόθῳ, Σὲ τὴν ἀμίαντον Παρθένον, ὅτι διὰ Σοῦ ἐπεφάνη, Θεὸς ἐν κόσμῳ, Ἁγνὴ σεσαρκωμένος, ᾧ πρέσβευε δωρήσασθαι, παραπτωμάτων ἡμῖν ἄφεσιν.

Κανὼν πρῶτος. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ἰδεῖν ἐφιέμενος Χριστοῦ τὴν ἄῤῥητον, Ἱεράρχα δόξαν ἔσπευσας, πάθη νεκρῶσαι ψυχοφθόρα, καρδίαν τε δοχεῖον ποιήσασθαι, σοφίας τῆς ἀμείνω καὶ κρείττονος· ὅθεν σε πάντες μεγαλύνομεν.

Ἀστέρα πολύφωτον Χριστὸς ὁ Ἥλιος, Ἐκκλησίας ἐν τῷ ὕψει σε, ἔθετο Κύριλλε ἀκτῖσι, δογμάτων ἱερῶν καταυγάζοντα, καρδίας τῶν πιστῶν ἐκτελούντων σου, τὴν φωτοφόρον μνήμην Ὅσιε.

Συνόμιλος καὶ συλλειτουργὸς γεγένησαι, τῶν Ἀγγέλων· ὡς γὰρ ἄσαρκος, Πάτερ ἐν γῇ ἐπολιτεύσω, Ὁσίων ἀνεδείχθης συμμέτοχος, καὶ τῶν Ἱεραρχῶν ἰσοστάσιος, οἷς συγχορεύων ἡμῶν μέμνησο.

Θεοτοκίον.

Στειρεύουσαν θείων ἀρετῶν Πανάχραντε, Θεοτόκε τὴν καρδίαν μου, δεῖξον Παρθένε καρποφόρον, ἐκ στείρας ἡ τεχθεῖσα βουλήματι, τὰ πάντα τοῦ ποιοῦντος τῷ νεύματι, ἵνα ὑμνῶ Σε τὴν Πανύμνητον.

Κανὼν δεύτερος. Τὸν προδηλωθέντα.

Ἅπασα πνοή σε, ἐν ὕμνοις ἐγκωμιάζει, ὅτι διδαχῶν σου, τῶν θεουργικῶν ἐν γαλήνῃ, ἀπειθούντων τὰς μωρολογίας, Κύριλλε εἰς χάος κατεπόντισας.

Μένει εἰς αἰῶνας, ὡς γέγραπται Ἱεράρχα, τὸ μνημόσυνόν σου· πόθῳ γὰρ Χριστοῦ διαπύρῳ, καὶ ἀγάπῃ ἐν δικαιοσύνης, Κύριλλε τοῖς ἔργοις ἐπερίσσευσας.

Ἡ δραστικωτάτη, πρεσβεία σου γένοιτό μοι, τῷ ὑφάναντί σοι, τήνδε τὴν ᾠδήν ἐν ἀγάπῃ, προστασία τεῖχος τε καὶ σκέπη, Κύριλλε ἐν βίου περιστάσεσι.

Θεοτοκίον.

Νεῦσον ἱκεσίαις, τῶν τέκνων Σου Θεοτόκε, πρόφθασον καὶ σῶσον, λύτρωσαι ἡμᾶς ἐκ κινδύνων· εἰς Σὲ γὰρ καυχώμεθα ἐνθέως, Ἄχραντε εἰς Σὲ μόνην ἐλπίζομεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Θεῷ βιώσας ἄριστα, μητρικῶν ἐκ σπαργάνων, τὴν παρ᾽ Αὐτοῦ ἀπέλαβες, χάριν Κύριλλε Πάτερ, καὶ τῆς Σιὼν τῆς ἁγίας, ἐν καθέδρᾳ ἀνῆλθες, ἔνθα ὡς μέγας ἥλιος, ποιμασίᾳ σου λάμψας, ἀνατολῇ, μυσταγωγικῶν σου πανσόφων λόγων, ἐκεῖθεν ἐξανέτειλας, Ἐκκλησίαν φωτίζων.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἐν ἐπιστήμῃ ὄντως, τοῦ Παρακλήτου ἀκριβεῖ, καὶ γλώττῃ σου τρανοφθόγγῳ, τῆς ἐν Χριστῷ θείας ζωῆς, ὢ Κύριλλε ἀνεδείχθης, μυσταγωγὸς θεοφόρος.

Θεοτοκίον.

Χαῖρε παράδεισε θεῖε, ἐν ᾧ τὸ ξύλον τῆς ζωῆς· χαῖρε ὁ λίθος Παρθένε, ἐξ οὗ ἡ πέτρα ὁ Χριστός, ἐτμήθη τὴν ἁμαρτίαν, συντρίβων τοῦ Πρωτοπλάστου.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Δεῦτε πιστοὶ ἐγκωμίων, εὔηχον μέλισμα, ἐκ θεοφθόγγου λύρας, Παρακλήτου κροτοῦντες, τιμήσωμεν Κυρίλλου τοῦ τῆς Σιών, Ποιμενάρχου πανήγυριν, ὡς ἀπαστράπτουσαν σήμερον μυστικῶς, φωταυγείαν ἡμῖν χάριτος.

Τὴν περικόσμιον δόξαν, ἀπαρνησάμενος, τῆς εὐσεβείας πάσας, τὰς μεθόδους διῆλθες, καὶ λάμψας ὥσπερ λύχνος ταῖς ἀρεταῖς, Παρακλήτου ὦ Κύριλλε, ποιμὴν ἐδείχθης οὐράνιος τῆς Σιών, καὶ ψυχῶν νομεὺς πανάριστος.

Αἱρετικοῖς μωρολόγοις, ἀντιταξάμενος, ὡς παλαιστὴς γενναῖος, τῆς Χριστοῦ ἀληθείας, κατίσχυσας εἰς τέλος Πάτερ αὐτῶν, παμβλασφήμου ἐπάρσεως, καὶ Ὀρθοδόξοις ἐνίδρυσας εὐκλεῶς, νίκης τρόπαιον ὦ Κύριλλε.

Ἐκ τῶν πηγῶν τῆς ἀβύσσου, τοῦ Θείου Πνεύματος, ἀντλήσας τῆς σοφίας, Πάτερ Κύριλλε ῥεῖθρα, ἐν λόγων ἐπομβρίαις θεουργικῶν, Ἐκκλησίαν κατήρδευσας, καὶ τῶν πιστῶν ἀνεδείχθης μυσταγωγός, πρὸς εὐσέβειαν θεόπνευστος.

Δόξα. Ἦχος πλ. δ΄.

Ὅσιε Πάτερ, χάριτι τῷ Κυρίῳ συγκραθείς, ὡς καθαρὸς διὰ πίστεως γενόμενος, ἐν ἀναστροφῇ χριστομιμήτου ποιμασίας, ἐπὶ καθέδρας τοῦ Θεαδέλφου διέπρεψας· τῆς λογικῆς σου γὰρ ποίμνης

κηδόμενος, διὰ λόγων αὐτῇ μεστῶν σοφίας, πρὸς γνῶσιν εὐσεβῆ ἐπαιδαγώγησας, καὶ αἱρετικῶν ψευδαδέλφων τῆς ἀπάτης, ἀλώβητον παντάπασιν διετήρησας, ὑπὲρ τῆς ἀληθείας καταφρονήσας, διωγμῶν τε κινδύνων καὶ θλίψεων. Ὅθεν ἐν ὑψίστοις Κύριλλε, Ἀγγέλων χοροστασίας ἀξιωθείς, τῇ Τριάδι παρίστασαι, ὑπὲρ ἡμῶν δεήσεις ἀναφέρων, τῶν τελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία Μεγάλη καὶ ᾿Απόλυσις.

Μεγαλυνάρια.

Χαίροις εὐσεβείας θεία φθογγή, καὶ Ὀρθοδοξίας, θεοκίνητος λαλιά· χαίροις μυστηπόλος, Θεοῦ τῶν μυστηρίων, ὦ Κύριλλε θεόφρον, Σιὼν ὁ Πρόεδρος.

Χαίροις εὐσεβείας μυσταγωγός, καὶ τῆς ἀληθείας, θεολόγος ὑφηγητής· χαίροις τῶν δογμάτων, τῆς πίστεως τὸ κῦρος, ῾Ιεραρχῶν τό κλέος, παμμάκαρ Κύριλλε.

Στίχοι. *Κύριλλε Σιὼν ὁ θεῖος Ποιμενάρχης,*
*ὁ μυσταγωγὸς Χριστοῦ τῆς ἀληθείας,*
*Κύριλλον τῇ σῇ βοήθει ἀντιλήψει,*
*ὕμνους σοι πολλῇ ὑφάναντα ἀγάπῃ,*
*Τάχιστα αὐτὸν λυτρούμενος κινδύνων,*
*μήνιδος δεινῆς ἐχθροῦ τοῦ παλαμναίου.*